Γάργαλος.] τουτέστιν ἐρεθισμός τις κίνησις, ἡδυπάθεια καὶ παρόρμησις τοῦ γέλωτος ὑπῆλθέ με καὶ ὑπέδυσε. Γαργαλίζειν γὰρ σημαίνει προτρέπειν, ἐρεθίζειν, κινεῖν, καὶ παρορμᾶν. Γύννις.] μαλακὸς καὶ θηλυκὸς ἔκλυτός τε. Στολή.] ἐσθής. Τάραξις τοῦ βίου.] ἐπιτήδευσις καὶ μελέτη. Βάρβιτος.] εἶδος ὀργάνου μουσικοῦ, οὗ μέμνηται ὁ Ἀθήναιος ἐν τῷ τετάρτῳ βιβλίῳ, καὶ Σαπφὼ Ἀνακρέων τε μνημονεύουσι. Λαλεῖ κροκωτῷ] κροκωτόν ἐστι Διονυσιακὸν φόρημα ἢ γυναικεῖον ἐκ πλύνης ἔνδυμα καὶ ἱμάτιον, οὗ μέμνηται ὁ Ἀθήναιος ἐν τῷ τετάρτῳ, ἐνδυόμενον λέγων τινὰ κροκωτὸν, καὶ σικυώνια ὑποδυόμενον διατελεῖν ὀρχούμενον. Κεκρυφάλῳ.] κεκρύφαλος λέγεται ἡ κοιλότης ἄρκυος κεφαλόδεσμός τε. ὀνομάζονται δὲ καὶ οἱ κεκρύφαλοι αἱ τῶν ἵππων κορυφαστῆρες καὶ δεσμότριχα.

Bisetvs. Ω πότνιαι Γενετυλλίδες] Γενετυλλὶς, δαίμων περὶ τὴν Ἀφροδίτην γενέσεως αἴτιος. ἀπὸ τῆς γενέσεως τῶν παίδων ὠνομασμένος. πεποίηται δὲ τὸ ὄνομα παρὰ τὴν γένεσιν. οἱ δὲ περὶ τὴν Ἄρτεμιν φασὶ τοὺς τῶν τέκνων ἐφόρους. καὶ πάλιν περὶ τὴν γένεσιν. Σ. πότνια δὲ, καὶ πότνα, σεβαστὴ, ἔντιμος. καὶ ποτνιᾶσθαι, τὸ προσπίπτειν, καὶ παρακαλεῖν. κυριώτερον δ' ἄν τις φήσειεν ἐπὶ γυναικῶν, ὅταν ἡ γυνὴ κακόν τι πάσχῃ, καὶ θήλειαν θεὸν ἱκετεύῃ, καὶ ὦ πότνια λέγῃ. ποτνιᾶσθαι δὲ ὅταν εἴπῃ τις ἄνδρα περιφανῶς ἁμαρτάνει. ἐτυμολογικὸν μέγα. ἐκ τούτων δὲ Μνησίλοχον ὡς θηλύδειαν ἐνταῦθα σκώπτεσθαι δῆλον. Θηλυδριώδες, καὶ κατεγλωττισμένον.] καταγεγλωττισμένον κατὰ τοὺς γραμματικοὺς κανόνας κοινῶς γραπτέον. ἀλλ' εὐφωνίας χάριν κατεγλωττισμένον λέγεται. Ἀττικοὶ δὲ πολλάκις, ὥς φησιν Εὐστάθιος, γλυκείας ἀπηχήσεως ἕνεκεν ἀποσκευάζονται τὸ τῆς αὐξήσεως κατάρχον σύμφωνον, ὡς ἐν τῷ ἐβούλευκα, ἀντὶ τοῦ βεβούλευκα. οὕτω καὶ ἐν ἄλλοις μυρίοις. Σουίδας δὲ τούτου τοῦ στίχου μνημονεύων ταῦτα λέγει, κατεγλωττισμένον, ἀντὶ τοῦ πολλαῖς γλώτταις μεμιγμένον. γλῶττα δέ ἐστι καὶ ἡ λέξις. δι' ὧν δηλοῦν δοκεῖ τὰ τοῦ Ἀγάθωνος μέλη ἐκ περιέργων, καὶ πεποικιλμένων λέξεων συρραφθέντα εἶναι.

ἢ (ὃ καὶ πολὺ βέλτιον) ὁ ποιητὴς οὕτω τὸν Ἀγάθωνα, καὶ αὐτοῦ τὰ μέλη ὡς μαλθακὰ, ὡς θηλυδριώδη, καὶ οὐδὲν ἀνδρεῖον ἔχοντα ἀποδεῖξαι βούλεται, καὶ χαριέντως αὐτὸν, καὶ αὐτοῦ τὰ ποιήματα σκώπτων παίζει πρὸς τὰ φιλήματα τὰ καλούμενα καταγλωττίσματα, καὶ μανδαλωτὰ, περὶ ὧν Σουίδας ταῦτα παραδίδωσι. καταγλώττισμα, περιεργότερον εἶδος φιλήματος. μανδαλωτὸν δὲ, εἶδος φιλήματος ποικίλον, καὶ ἡδύ. ἀλλαχοῦ δὲ καταγλωττίζειν, βλασφημεῖν. ὡς ἐν Ἀχαρνεῦσι,

Ψευδῆ κατεγλώττιζέ μου.

Γάργαλος.] Γάργαλος, ὁ γαργαλισμός. γαργαλίζει, δοτικῇ. κινεῖ ὑποσημαίνει. προτρέπει. ἐρεθίζει. Σ. καὶ ἐρεθίζει, φησὶν ἀπὸ τοῦ στόματος, ὥστε ἐμέσαι. τοῦτο δὲ παρὰ προσδοκίαν εἶπεν ὁ Μνησίλοχος ἀντὶ τοῦ εἰπεῖν, ὥστε μου ἀκροωμένου μεγίστη ἡδονὴ ὑπ' αὐτὴν τὴν καρδίαν ὑπῆλθε. τὴν ἕδραν δὲ, τὸν πρωκτὸν σεμνοπρεπῶς καλεῖ. ὁ δὲ νοῦς ἐστι. τῇ σου μελῳδίᾳ τοσοῦτον ἥσθην. ἐκ τῶν μελῶν, ἅπερ ᾖσας, τοσαύτην ἔλαβον ἡδονὴν ἀκούων αὐτὰ, ὥστε εἰς μεγίστην ἐπιθυμίαν τοῦ χέζειν τὸν ἐμὸν πρωκτὸν ὑπελθεῖν. ἢ καὶ, ὥστε ὑφ' ἡδονῆς ἐμὲ χεζητιᾶν, εἴτε χεσείειν. ταῦτα τοίνυν τὸν Ἀγάθωνος καταγελῶν λέγει. Λυκουργίας.] Λυκουργία, Αἰσχύλου δρᾶμα οὕτω καλούμενον. Γύννις] ἀνδρόγυνος. μαλακός. δειλὸς, ἄνανδρος, θηλυδρίας. Βάρβιτος.] βάρβιτος κατὰ Σουίδαν εἶδος ὀργάνου μουσικοῦ. κατὰ δὲ τὸν Ἡσύχιον, εἶδος κιθάρας. ἢ λύρα. Ἄλλως. Βάρβιτος, εἶδος μουσικοῦ ὀργάνου, ψαλτήριον, ἢ κιθάρα. εἴρηται δὲ οἱονεὶ βαρύμιτός τις ὤν. ὁ βαρεῖ αὐτὴν τὴν φωνὴν καὶ τὸν φθόγγον. μίτους γὰρ τὰς νευρὰς ἔλεγον, ἐπειδὴ πρὸ τῆς χρήσεως τῆς νευρᾶς λινοῖς στήμοσιν ἐκέχρηντο. ὅθεν καὶ οἱ Αἰολεῖς βάρμιτον αὐτὸ διὰ τοῦ μ φασί. ἐτυμ. μ. Κεκρυφάλῳ.] κεκρύφαλος, ὥς φησιν Εὐστάθιος, κόσμος γυναικεῖος δικτυωτὸς περὶ τὴν κεφαλὴν κροκύφαντος λεγόμενος. κατὰ δὲ τὸν Σουίδαν, καὶ Ἡσύχιον, κεκρύφαλος, σάβακάθιον, δεσμότριχον κεφαλοδέσμιον καὶ εἶδος κοιλίας τῶν μηρυκαζομένων ζώων. ἴσως δὲ εἴρηται παρὰ τὸ κρύπτειν, καὶ καλύπτειν τὴν κεφαλήν.

Τί λήκυθος, καὶ στρόφιον ὡς οὐ ξυμφόρον;
Τίς δαὶ κατόπτρου καὶ ξίφους κοινωνία;
Τίς δ' αὖ τὸς ὦ παῖ; πότερον ὡς ἀνὴρ τρέφῃ;
Καὶ ποῦ πέος, ποῦ χλαῖνα, ποῦ Λακωνικαί;
Ἀλλ' ὡς γυνὴ δῆτ' εἶτα, ποῦ τὰ τιτθία;
Τί φῄς; τί σιγᾷς; ἀλλὰ δῆτ' ἐκ τοῦ μέλους
Ζητῶ σ', ἐπειδή γ' αὐτὸς οὐ βούλει φράσαι.

*Quid lecythus, vel olearia ampulla & strophiũ? quoniam non congruum est.*
*Quænam vero speculi ac ensis societas?*
*Quisnam vero ipse ô adolescens, utrum tanquam vir aleris,*
*Et ubinam est penis? ubi læna? ubi Laconicæ?*
*Sed tanquam mulier profecto aleris, deinde ubi papillæ?*
*Quid dicis? quid taces? sed profecto ex cantu*
*Quæro & excutio te, quoniam quidem ipse non vis dicere.*

Bisetvs. Λήκυθος.] λήκυθος ἀρσενικῶς, καὶ θηλυκῶς τὸ ἐλαιοδόχον ἀγγεῖον. τὴν δὲ τοῦ μύρου οἱ Ἀττικοὶ ἀλάβαστρον καλοῦσι. Σ.

Bovrdinvs. Στρόφιον.] τὸ ζωνάριον στρόγγυλον καὶ γυναικεῖον, τὸ περὶ τὴν κεφαλὴν ἐρεοῦν. Ἡρόδοτος, στρόφιον οἱ ἱερεῖς φοροῦσι. ὁ δὲ Πολυδεύκης λέγει σημαίνειν στρόφιον καλλώπισμά τι καὶ κόσμημα γυναικεῖον, δηλονότι ζώνιον. Ἀριστοφάνης, ἀλλὰ τὸ στρόφιον λυθὲν τὰ κάρυα μου ἐξέπιπτεν. Ὡς οὐ συμφόρον.] συναρμόζον καὶ πρεπόντως συμβαῖνον. Κοινωνία] πῶς συναρμόττει καὶ καλῶς συμφέρεται τὸ ξίφος καὶ κάτοπτρον. Λακωνικαί.] ὑποδήματα, ἅπερ καλεῖται ἀμυκλάδες, τουτέστιν ἀνδρεῖα ὑποδήματα. λακωνικὸν γὰρ στερεὸν καὶ ἀνδρεῖον σημαίνει. Λέγει δὲ ὁ Μνησίλοχος, ποῦ ἐστιν τὰ τεκμήρια τῆς ἀνδρείας σου καὶ μεγαλοψυχίας ἀνδρικῆς. ἅ τε δὴ τὸ πέος τὸ αἰδοῖον ἡ χλαῖνα ἐσθὴς αἱ Λακωνικαὶ ὑποδύσεις. Τιτθία.] λέγει τοῦτο βουλόμενος ἀεὶ ἐξελέγχειν τὴν μαλακίαν καὶ ἀνανδρείαν θηλύτητά τε τοῦ Ἀγάθωνος. Ζητῶ σ'.] γνῶναι ἐκ τοῦ μέλους. Ἐπειδὴ οὐ βούλει] δηλοῦν πότερον εἶ ἀνὴρ ἢ γυνὴ, καὶ κατὰ γυναικεῖον ἢ ἀνδρεῖον τρόπον τρέφῃ.

Bis. Χλαῖνα] χλαῖνα, τὸ παχὺ, καὶ χειμερινὸν ἱμάτιον, παρὰ τὸ χλιαίνω. χιτὼν δὲ, τὸ λεπτὸν ἱμάτιον, τὸ ὑποκάμισον, παρὰ τὸ ἐγχεῖσθαι τοῖς μέλεσι. Λακωνικαὶ δὲ, ἀνδρεῖα ὑποδήματα. Σ. ταῦτα δὲ κατὰ τὸν Ἡσύχιον ἀμυκλάδες καλοῦνται. Ψόγον δὲ, τὴν κακολογίαν. Σ.